# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hna-aa

*Πραξιφάνης ὁ Μυτιληναῖος* · Praxiphanes of Mytilene

# Fragments on Philosophical Discourse

*Ἀποσπάσματα περὶ Φιλοσοφικοῦ Λόγου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Peripatetic

7 Carneiscus Philista, Papyrus Herculanensis 1027 fr. VII. VIII. col. VIII—XI. XIII. VH 2 (1865) V 182, cf. Usener Epicurea fr. 4 p. 93 (Wilhelm Crönert, Kolotes und Menedemos [1906] p. 69—72): fr. VII [—διδ]αχὴν ε[ἶναι φίλου] [—τελ]ευτήσαντο[ς] [—συμ]φιλοσο[φῆ]σαι fr. VIII· ὁ Πραξιφ[άνης] σε· ταισν · τελευτῆς col. VIII [ὥσπ]ερ [καὶ] Πρα[ξ]ιφάνη[ς,] [οὗ ἀγ]ασ[τ]έον, εἰ οὕτως [ … τ]ῶν [ἐ]μ μέσῳι κα [ …. ]υτων ἀσύνοπτον [ … θε]ωροῦντας, ὅτι οὐ ….. νῦν ἄνθρωπος [ἀνεστρ]έφε[τ]ο πρὸς τὰς παν [ …. , ἧτ]τον ἐχόμενος [τῶν πα]θῶν καὶ τῶν λοι[πῶν διαθέσεων, ὥσ]περ αἱ ………….. νειν col. IX ων καὶ ὑπὸ τ[ο]ύ[τ]ου μ[οι] δοκεῖ πλανᾶσθαι … ιλε δὲ τοῦ μὴ πα ….. ε θεωρεῖσθαι περὶ τῶν ἐμπροκειμένων γινομένας ψευδεῖς ὑπολήψεις καθ’ ὃν ἐξέθηκα [τ]ρόπον. ἐντεῦθεν γὰρ ἐ[νπ]εί[πτ]ει πρὸς τὸ νομίζειν ο[ὐδὲν] ὅλως γίνεσθαι διὰ ψεύ[δ]η ἐν γε [τοῖς] τοιούτοις, ἃ μᾶλ[λον] μὲν δυσκό[λου ἐστί,] [εἰς δὲ] τὰ διειλ[η]μμέ[να] ….. υπο ………… col. X [τού-] των δὲ π[ρ]ο[ει]ρημένων, Ζώπυρε, νομίζω φανερὸν γεγ[ο]νέναι, διότι μακρὰν ἀπεῖχε Πραξιφάνης τοῦ τῶν δεόντων τι λελογίσθαι περὶ φιλίας καὶ τὴν προσήκουσαν ἔχειν κατάστασιν ἐμ φίλων τελε[υτ]αῖς καὶ ὡς πολλῆς ἀσυμφωνίας ἔγεμεν ὁ λόγος, ὃν ἐποιήσατο περὶ τούτων καὶ [ὅτι ……… ἄκ]ρως col. XI .. ους, ἀλλὰ γόη[τες πά]ντες εὑρίσκονται κατὰ τὸν ὑφηγημένον τρόπον ἀποθεω[ρούμε-] νοι, μακρὰν ἀπέχοντες τοῦ τῶν δεόντων 〈τι〉 λέγειν περ 〈ὶ φι〉 λίας 〈καὶ〉 τῶν λοιπῶν, ὅσα συντεί[ν]ει πρὸς τὸ βιῶσαι μακαρίως κτλ. [55]

7 (50) col. XIII [γέγ]ονεν ἤπερ ἐπὶ τῶι τὸ στερέμνιον ἦρθαι τὸ λυπούμενον, ὡς ὁ μὴ το[ι]οῦτος γινόμενος ἐπ’ [ἄλ]λων [σπ]ουδαίων …. τηι ἀλλοῖον ἑαυτόν. εἰσάγει ο[ὖ]ν ἐν τῶι σ[υ]γγράμματι Πραξιφάνης κακὸν μέν, 〈ὃσ〉 ἐξαπατᾶ τὸν ἴδιον [υἱ]όν, μ[ο-] χθ[η]ρῶς δὲ φίλοις συν[α]ναστραφήσεται οὐ. …. λουν γνη[σ]ίως τ . α δὲ καὶ παντ[ελῶς οὐ φιλή-] σ[ε]ι ὥσπερ ἑαυ[τόν· ἔπειτα] [δὲ εἰ]σάγει Π[ραξιφάνης] [ …. π]αρέχ[οντα] ….. επαν ….. ταλλα/ Schol. [75]

8 Londinense in Dionysium Thracem p. 448 Hilgard: διαφέρει δὲ γραμματικὴ γραμματιστικῆς· ἡ γὰρ γραμματικὴ νεωτέρα ἀπὸ Θεαγένους, τετέλεσται δὲ ἀπὸ τῶν Περιπατητικῶν Πραξιφάνους τε καὶ Ἀριστοτέλους· ἡ δὲ γραμματιστικὴ παλαιά, ἴσως δὲ σχεδὸν ἅμα τῇ φύσει προελθοῦσα. καὶ τῆς μὲν τέλος τὸ γράφειν, τῆς δὲ τὸ ἀναγινώσκειν. Schol. [5]

9 Vaticanum in Dionysium Thracem p. 164 Hilgard (Vorsokr. 6 8, 1 a): διττὴ δέ ἐστιν ἡ γραμματική· ἡ μὲν γὰρ περὶ τοὺς χαρακτῆρας καὶ τὰς τῶν στοιχείων ἐκφωνήσεις καταγίνεται, ἥτις καὶ γραμματικὴ λέγεται, παλαιὰ οὖσα καὶ πρὸ τῶν Τρωικῶν, σχεδὸν δὲ καὶ ἅμα τῇ φύσει

προελθοῦσα· ἡ δὲ περὶ τὸν ἑλληνισμόν, ἥτις καὶ νεωτέρα ἐστίν, ἀρξαμένη μὲν ἀπὸ Θεαγένους, τελεσθεῖσα 〈δὲ〉 παρὰ τῶν Περιπατητικῶν Πραξιφάνους τε καὶ Ἀριστοτέλους. Clemens Stromateis I cap.

10 XVI 79, 3: Ἀπολλόδωρος δὲ ὁ Κυμαῖος πρῶτος 〈τοῦ γραμματικοῦ ἀντὶ〉 τοῦ κριτικοῦ εἰσηγήσατο τοὔνομα καὶ γραμματικὸς προσηγορεύθη, ἔνιοι δὲ Ἐρατοσθένη τὸν Κυρηναῖόν φασιν, ἐπειδὴ ἐξέδωκεν οὗτος βιβλία δύο γραμματικὰ ἐπιγράψας. ὠνομάσθη δὲ γραμματικός, ὡς νῦν ὀνομάζομεν, πρῶτος Πραξιφάνης Διονυσοφάνους Μιτυληναῖος. Diogenes Laert.

11 III 8: ὁ δ’ οὖν φιλόσοφος (sc. Πλάτων) καὶ Ἰσοκράτει φίλος ἦν· καὶ αὐτῶν Πραξιφάνης συνέγραψε διατριβήν τινα περὶ ποιητῶν γενομένην ἐν ἀγρῷ παρὰ Πλάτωνι ἐπιξενωθέντος τοῦ Ἰσοκράτους. Philodemus Περὶ ποιημάτων ε col.

12 IX p. 25 Jensen: Πρα[ξ]ιφάνης δ’ ἕτερα μέν τινα λέγει περὶ τῆς ἀρετῆς ἐν [τ]ῷ πρώτῳ περὶ ποιη[μά]των, [ἣν] ἐνίοτε καὶ π[ραγ]μάτων ὄντων ἀγαθ[ῶν] ο〈ὐ〉κ ἐνεῖναί [φησιν]· ἕ[τε]ρα δὲ Δημή[τριο]ς ὁ Βυζάντιος πάλιν ἔ[γραψεν κτλ. ....]. Demetrius De elocutione 55: περὶ συνθέσεως λόγου·.

13 ........ τοῖς δὲ παραπληρωματικοῖς συνδέσμοις χρηστέον οὐχ ὡς προσθήκαις κεναῖς καὶ οἷον προσφύμασιν ἢ παραξύσμασιν, ὥσπερ τινὲς τῷ „δὴ“ χρῶνται πρὸς οὐδὲν καὶ τῷ „νυ“ καὶ τῷ πρότερον, ἀλλ’ ἂν συμβάλλωνταί τι τῷ μεγέθει τοῦ λόγου καθάπερ παρὰ Πλάτωνι „ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεύς“ (Phaedrus 246 e) καὶ παρ’ Ὁμήρῳ „ἀλλ’ ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο“ (Ξ 433): ἀρκτικὸς γὰρ τεθεὶς ὁ σύνδεσμος καὶ ἀποσπάσας τῶν προτέρων τὰ ἐχόμενα μεγαλεῖόν τι εἰργάσατο. αἱ γὰρ πολλαὶ ἀρχαὶ σεμνότητα ἐργάζονται. εἰ δ’ ὧδε εἶπεν· „ἀλλ’ ὅτε ἐπὶ τὸν πόρον ἀφίκοντο τοῦ ποταμοῦ,“ μικρολογοῦντι ἐῴκει καὶ ἔτι ὡς περὶ ἑνὸς πράγματος λέγοντι. λαμβάνεται δὲ κἀν παθητικοῖς πολλάκις ὁ σύνδεσμος οὗτος, ὥσπερ ἐπὶ τῆς Καλυψοῦς πρὸς τὸν Ὀδυσσέα· „Διογενὲς Λαερτιάδη πολυμήχαν’ Ὀδυσσεῦ, οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν“ (ε 203/4). εἰ γοῦν τὸν σύνδεσμον ἐξέλοις, συνεξαιρήσεις καὶ τὸ πάθος. καθόλου γάρ, ὥσπερ ὁ Πραξιφάνης φησίν, ἀντὶ μυγμῶν παρελαμβάνοντο οἱ τοιοῦτοι σύνδεσμοι καὶ στεναγμῶν, ὥσπερ τὸ „αἴ αἴ“ καὶ τὸ „φεῦ“, καὶ ποῖόν τι [ἐστιν], ὡς αὐτός φησι, τὸ „καὶ νύ κ’ ὀδυρομένοισιν“ (π 220) ἔπρεψεν ἔμφασίν τινα ἔχον οἰκτροῦ ὀνόματος. οἱ δὲ πρὸς οὐδὲν ἀναπληροῦντες, φησί, τὸν σύνδεσμον ἐοίκασι τοῖς ὑποκριταῖς τοῖς τὸ καὶ τὸ πρὸς οὐδὲν ἔπος λέγουσιν, οἷον εἴ τις ὧδε λέγοι „Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός, φεῦ, ἐν ἀντιπόρθμοις πεδί’ ἔχους’ εὐδαίμονα, αἴ αἴ“ (Eurip. Meleagr. fr. 515 N 2 ). ὡς γὰρ παρέλκει τὸ „αἴ αἴ“ καὶ τὸ „φεῦ“ ἐνθάδε, οὕτω καὶ ὁ πανταχοῦ μάτην ἐμβαλλόμενος σύνδεσμος. Hesychius Lexicon Δ 1399: διατροχάδες· εἶδος ποιήματος, ὡς ἱστορεῖ Πραξιφάνης [ὄνομα κύριον].

15 Schol. in Callimachi Aetia I, PSI 1219 fr. 1 (Callimachus ed. R. Pfeiffer I [1949] p. 3): [ .... ]ι μοι Τελχῖνες ἐπιτρύζουσιν ἀοιδῇ [ ]τει δ[ ... ] ... [ ] . Διονυσίοις δυ[σ]ί, τῷ ελ [ ]νι κ(αὶ) τῷ ἴλειονι κ(αὶ) Ἀσκλη[πιάδῃ τῷ Σικε]λίδῃ κ(αὶ) Ποσειδίππῳ τῷ ονο [ ] . υρίππῳ τῷ ῥήτορι κ(αὶ) Ἀνα [ ]βῳ κ(αὶ) Πραξιφάνῃ τῷ Μιτυ[ληναίῳ, τοῖς με]μφομ(έν)ο[ι]ς αὐτοῦ τὸ κάτισ[χνον τῶν ποιη]μάτ(ων) κ(αὶ) ὅτι οὐχὶ μῆκος ηρα [ ........ ] .. [ ....... ]ουμ(εν)ο . [ . ]οι . [ .. ] . [ ... ] . ων λου . [ . ]ο . [ . ] . πα .. [ .... ] [παρα]τίθεταί τε ἐν σ(υγ)κρίσει τὰ ὀλίγων στί[χ(ων) ὄν]τ(α) ποιήματα Μιμνέρμου τοῦ Κο[λοφω]νίου καὶ Φιλίτα τοῦ Κῴου βελτίονα τ(ῶν) πολυστίχων αὐτ(ῶν) φάσκων εἶναι [ ...... ] Achilles Vita Arati (Commentariorum in Aratum reliquiae ed.

16 E. Maass p. 78): μέμνηται γοῦν αὐτοῦ (sc. Ἀράτου) καὶ Καλλίμαχος (fr. 460 Pf.) ὡς πρεσβυτέρου οὐ μόνον ἐν τοῖς Ἐπιγράμμασιν (27), ἀλλὰ καὶ ἐν τοῖς πρὸς Πραξιφάνην, πάνυ ἐπαινῶν αὐτὸν ὡς πολυμαθῆ καὶ ἄριστον ποιητήν. Marcellinus Vita Thucydidis 29: συνεχρόνισε (sc.

18

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θουκυδίδης) δ’, ὥς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἐποποιῷ καὶ Χοιρίλῳ καὶ Μελανιππίδῃ. καὶ ἐπεὶ μὲν ἔζη Ἀρχέλαος, ἄδοξος ἦν ὡς ἐπὶ πλεῖστον, ὡς 〈ὁ〉 αὐτὸς Πραξιφάνης δηλοῖ, ὕστερον δὲ δαιμονίως ἐθαυμάσθη. Proclus In Platonis Timaeum comment. [5]

19 I 5 c (17 a εἷς δύο τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δὲ ἑστιατόρων;): Πραξιφάνης δὲ ὁ τοῦ Θεοφράστου ἑταῖρος ἐγκαλεῖ τῷ Πλάτωνι πρῶτον μέν, ὅτι πρόδηλον ὂν καὶ τῇ αἰσθήσει γνώριμον τῷ Σωκράτει περιέθηκε τὸ εἷς δύο τρεῖς· τί γὰρ ἐδεῖτο τοῦ ἀριθμεῖν ὁ Σωκράτης, ἵνα γνῷ τὸ πλῆθος τῶν ἀπηντηκότων εἰς τὴν συνουσίαν; δεύτερον δέ, ὅτι τὸ τέταρτος ἐξήλλαξε καὶ οὐ συμφώνως τοῖς προειρημένοις· ἀκόλουθον γὰρ τῷ μὲν εἷς δύο τρεῖς τὸ τέτταρες, τῷ δὲ τέταρτος τὸ πρῶτος δεύτερος τρίτος. ταῦτα μὲν οὖν ὁ ἐκείνου μῦθος. Comment. [5]

20 in Iliadem B 763, Papyri Oxyrh. VIII 1086: [ἵπποι μὲν μέγ’ ἄρισται· τὸ σημεῖον ὅτ]ι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν. τὴν δ’ ἀ[πολογίαν τοῦ ποιητοῦ ἐντεῦθεν ὁ Ἀρ]ίσταρχος πεποίηται πρὸς Πραξιφάνην· ἐκεῖνος [γὰρ θαυμάζει τὸν Ὀδυσσέα διὰ τὸ] παρη[γ]ορικῶς ὡμειληκότα τῇ μητρὶ κα[τὰ τὴν τελευτὴν περὶ Τηλεμάχου καὶ] Πηνελόπης ἐρωτῆσαι, ἐπειδήπερ ὡς ἔνι μάλιστα [ἀκοῦσαι θέλει τὰ συμβάντα ἐν τῇ ἀ]πουσίᾳ. ἡ δέ, φησίν, ἡ Ἀντίκλεια συνετωτάτη [οὖσα εὐθὺς περὶ αὐτὰ κατα]γίνεται· δι’ ἣν αἰτίαν ὁ Ἀρίσταρχος δείκνυσ〈ι〉, ὅ[τι ........ ]η ἡ Ἀντίκλεια. σημειοῦται δέ, ὅτι διὰ παντὸς [ὁ ποιητὴς οὕτως εἰς τὸ δεύτερον πρ]ότερος ἀπαντᾷ κατὰ ἰδίαν συνήθειαν. Lexica Segueriana VI, Anecdota Graeca ed. [5]

21 I. Bekker I (1814) p. 348 (cf. Anecdota Graeca ed. L. Bachmann I p. 35 s. v. ἄζα): ἄζα· ξηρασία· σημαίνει δὲ καὶ τὸ ἐν ἀγγείῳ ὀλίγον ὑγρόν· οὕτω Πραξιφάνης. Proclus Diadochus In Hesiodi Opera prolegomena (Poetae minores Graeci ed.

22a Th. Gaisford, vol. II [1823] p. 3): ὅτι δὲ τὸ προοίμιόν τινες διέγραψαν, ὥσπερ ἄλλοι τε καὶ Ἀρίσταρχος ὀβελίζων τοὺς στίχους καὶ Πραξιφάνης ὁ τοῦ Θεοφράστου μαθητής, μηδὲ τοῦτο ἀγνοῶμεν. οὗτος μέντοι καὶ ἐντυχεῖν φησιν ἀπροοιμιάστῳ τῷ βιβλίῳ καὶ ἀρχομένῳ χωρὶς τῆς ἐπικλήσεως τῶν Μουσῶν ἐντεῦθεν· οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος. Iohannes Tzetzes In Hesiodi Opera commentarius, Opera 1 Μοῦσαι Πιερίηθεν: ἰστέον ὅτι Ἀρίσταρχος καὶ ἕτεροι ὀβελίζουσι τὸ προοίμιον, καὶ Πραξιφάνης ὁ μαθητὴς Θεοφράστου, λέγων ἀπροοιμιάστῳ βιβλίῳ ἐντυχεῖν, ἀρχομένῳ ἐντεῦθεν· οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος. [5]

23 Schol. Sophocles Oedipus Colon. 900: σπεύδειν ἀπὸ ῥυτῆρος· ἀντὶ τοῦ βλαύτης· τῶν δὲ ἐξηγησαμένων ἁπάντων αὐτὸ Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκούων τὸ ὑπόδημα οἷον τῶν ποδῶν τὸ κάλυμμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org